Ὁμιλία ῥηθεῖσα τῇ τρίτῃ κυριακῇ τῶν νηστειῶν· ἐν ᾗ καὶ ὁ τίμιος σταυρὸς προτιθέμενος προσκυνεῖται:

Καὶ οἱ ὁδοιπόροι πρὸς ὀρθίαν ἐλαύνοντες καὶ τραχεῖαν ὁδὸν· ἐὰν κεκμηκότες ἤδη καὶ τοῖς ἱδρῶσι σταζόμενοι, ὑποτρέχωσιν ἀμφιλαφῆ δένδρου σκιὰν τοῦ ἡλίου κατὰ κορυφὴν ἱσταμένου καὶ τὰ μεσημβρινὰ βάλλοντος. καὶ τύχωσιν ἐπὶ βραχὺ καὶ μετρίως ἀναπαύσασθαι, εὐκολώτερος τοῦ λοιποῦ γίνεται δρόμου. καὶ πρὸς τὸ πέρας ὁ εὐψυχότερος γίνεται. κατὰ ταῦτα δὲ καὶ ἡμᾶς τὴν ἀτραπὸν τῆς νηστείας ὁδεύοντας νῦν· ἐπεὶ κατὰ τὸ μέσον τοῦ διαστήματος ταύτης ἥκομεν, ὀλίγον δρασμὸν τῶν μόχθων καὶ δεόμενοι ἀναψύξεως, τῷ ζωηφόρῳ φυτῷ τῷ τῆς ἀθανασίας δένδρῳ, τῷ ἀληθῶς ἀλλὰ σταυρῷ τοῦ Χριστοῦ, σήμερον προσδεδραμηκότες περιπτυσσόμεθα. καὶ τῆς ἐντεῦθεν ἀνέσεως ἐμφορούμεθα. ὁ ἐν τῇ σκιᾷ φησὶ τὰ τῶν ᾀσμάτων ᾄσματα, ἐπεθύμησα καὶ ἐκάθισα. καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου. ὡς ἀκμαιότεροι πρὸς τὸ κυριακὸν πάθος καὶ τὴν ἔγερσιν ἀνεθέντες φθασόμεθα. καὶ τοῦτο εἶναι βούλεται τὸ σήμερον προτίθεσθαι τὸν θεῖον σταυρὸν καὶ προσκυνεῖσθαι καὶ περιπτύσσεσθαι. μὲν γὰρ οἱ ἐθέλοντες ὁσάκις καὶ ἄνευ ἀκολούθου λόγου, τοῦτο τελεῖται παρὰ τῆς ἐκκλησίας Χριστοῦ· ὅτι μὲν δὴ ἄλλο τοιοῦτόν τι ἐν αὐτῇ φιλεῖ γίνεσθαι. ἀλλὰ πάντα μουσικώτερα καὶ ἀξίως τοῦ πνεύματος. τῆς μὲν γὰρ ἀρχῆς μετὰ ζεούσης προθυμίας καὶ θερμοτέρας φιλοῦμεν πάντες τοῦ νηστεύειν ἅπτεσθαι. ὥσπερ δὴ καὶ τοῦ τέλους, διὰ τὸ ἤδη παρεῖναι τὰ πάθη τοῦ ἀπαθοῦς καὶ τὴν ἀνάστασιν. ἐν δὲ τῷ μέσῳ κάμνομεν ὥσπερ καὶ ὑποκλάζομεν. διὰ ταῦτα προτίθεται ὁ θεῖος σταυρὸς ἐπιρρωννύων ἡμᾶς καὶ ἀπ' αὐτοῦ μόνου τοῦ προσκυνεῖν τοῦτον καὶ περιπτύσσεσθαι. διανιστῶν δὲ καὶ ὡς τὰ πάθη τὰ δεσποτικὰ προευαγγελίζεται. καὶ εἰδῶσιν ὡς παρόντα